στέφη δόσιν γε τῶν κακῶν ἐπαξίαν;
ἢ σῖγ' ἀτίμως, ὥσπερ οὖν ἀπώλετο
πατὴρ, τάδ' ἐκχέουσα, γάποτον χύσιν,
στείχω, καθάρμαθ' ὥς τις ἐκπέμψας, πάλιν,
δικοῦσα τεῦχος ἀστρόφοισιν ὄμμασιν;
τῆσδ' ἔστε βουλῆς, ὦ φίλαι, μεταίτιαι·
κοινὸν γὰρ ἔχθος ἐν δόμοις νομίζομεν.
μὴ κεύθετ' ἔνδον καρδίας, φόβῳ τινός.
τὸ μόρσιμον γὰρ τόν τ' ἐλεύθερον μένει,
καὶ τὸν πρὸς ἄλλης δεσποτούμενον χερός.
λέγοις ἂν, εἴ τι τῶνδ' ἔχεις ὑπέρτερον.
ΧΟ. αἰδουμένη σοι, βωμὸν ὥς, τύμβον πατρός,
λέξω, κελεύεις γάρ, τὸν ἐκ φρενὸς λόγον.
ΗΛ. λέγοις ἄν, ὥσπερ ᾐδέσω τάφον πατρός.

tibus concordet, mox corrigit καλῶν ἐπαξίαν. Schol. τῶν κακῶν: παρ' ὑπόνοιαν. ἔδει γάρ, τῶν καλῶν, εἰπεῖν. Sed huic interpretationi repugnat v. 83.

89. δόσιν τε edd. δόσιν γε Stanl. Hermann. δόσιν σφε Musgr.

90. Infra 876. Δόλοις ὀλούμεθ', ὥσπερ οὖν ἐκτείναμεν.

91. λύσιν Ald.

92. ὅς τις ἐκπέμψαις Ald. πάλιν—δικοῦσα Turn. Ceteri πάλιν cum στείχω construunt, et rectius quidem. Schol. πάλιν, εἰς τοὐπίσω ἀναχωρήσω, πρὸς τὸν Ἀθήνησι νόμον. Vid. loca in Glossario citata.

94. Malim μεταίτιοι.

95. κομίζομεν Aurat.

99. ἔχοις edd. Rectius citat ἔχεις Jacobsius in Anthol. Palat. p. 581. Tirones comparabunt Horatianum, *si quid novisti rectius istis, Candidus imperti.* Mox βωμὲν Ald.

101. τὸν omittit Robortellus. Constructionem expedit interpres Græcus; λέξω σοι τὸν ἐκ φρενὸς λόγον, αἰδουμένη τὸν Ἀγαμέμνονος τύμβον, ὡς βωμόν.

102. ηδέσω Ald.